www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΣΑΜΨΩΝ ΤΟΝ ΞΕΝΟΔΟΧΟΝ

(οὗ ἡ μνήμη τῇ 27ῃ Ἰουνίου)

Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βιη' * 2018 *

ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΣΑΜΨΩΝ ΤΟΝ ΞΕΝΟΔΟΧΟΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Οἶκος ἀγάπης, πρὸς Θεὸν καὶ πλησίον,
Σαμψὼν ἐδείχθης μιμηθεὶς τὸν Δεσπότην,
διὸ καὶ χάριν εἴληφας ἰᾶσθαι ἀσθενεῖς·
ὅθεν ταῖς πρεσβείαις σου,
τῶν ψυχῶν καὶ σωμάτων,
ἀσθενείας ἴασαι, καὶ ὑγείαν παράσχου,
ὅπως εὐγνώμονας ᾠδὰς χρεωστικῶς,
σοὶ καὶ Κυρίῳ, προσάγωμεν ὅσιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

www.tezaurliturgic.ro


*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*Ξένους παθῶν ἡμᾶς, πάτερ Σαμψών, τήρει.*

*Ὠιδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Ξενίσας ἀστέγους καὶ ἀσθενεῖς, Σαμψὼν ξενοδόχε, νῦν ξενίζῃ ὑπὸ Χριστοῦ, Ὃν πάντοτε ἵλεων δυσώπει, ἡμῖν γενέσθαι εὐχαῖς φιλανθρώποις σου.

Ἐπώλησας πάντα διὰ Χριστόν, καὶ οἶκον ἀγάπης, ᾠκοδόμησας ὦ Σαμψών, διδάσκων ἡμῖν τὴν πρὸς Δεσπότην, καὶ τὸν πλησίον ἀγάπην φιλάνθρωπον.

Νοσούντων ἐγένου καταφυγή, καὶ στέγη πενήτων, πενομένων διατροφή, διὸ καὶ ἡμῖν Σαμψὼν μὴ λίπῃς, πνευματικῶς ἀσθενοῦσιν ἐπεύχεσθαι.

Θεοτοκίον

Οὐκ ἔχομεν ἄλλην καταφυγήν, βεβαίαν Παρθένε, ἐν κινδύνοις καὶ πειρασμοῖς, ὡς σὲ τὴν ἀγάπης οὖσαν πλήρη, καὶ μητρικῶς τῷ Κυρίῳ πρεσβεύουσαν.

*Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Ὑγιαίνοντας δεῖξον, ταῖς σαῖς εὐχαῖς Ἅγιε, ἀσθενεῖς τιμῶντας σὴν μνήμην, καὶ αἰτουμένους σου, τὴν πρὸς τὴν Κύριον, πρεσβευτικὴν μεσιτείαν, ἣν Σαμψὼν φιλάνθρωπε, δεικνύεις πάντοτε.

Σὺν Ἁγίων χορείαις παρεστηκὼς Ἅγιε, μνήσθητι τῶν ὅσοι αἰτοῦσι, τὰς μεσιτείας σου, καὶ αὖθις ἔγειρον, τούτους ἐκ κλίνης ὀδύνης, ὅπως σε δοξάζωσι, Σαμψὼν ὅσιε.

Πάθη πλεῖστα ψυχήν μου, πάτερ Σαμψὼν θλίβουσι, καὶ τὴν πρὸς Δεσπότην πορείαν, κατεμποδίζουσιν, ὅθεν σου δέομαι, ταῦτα ἐκδίωξον πόῤῥω, καὶ εὐχαῖς ἁγίαις σου, ἀπελευθέρωσον.

Θεοτοκίον

Ἀδεῶς ἁμαρτάνων, τοῦ σοῦ Υἱοῦ Δέσποινα, θείας ἐντολὰς παραβαίνω ὁ ἀσυνείδητος, καὶ μακρυνόμενος, Αὐτοῦ θερμῶς δέομαί σου, πρόφθασον καὶ σῶσόν με, τῆς καταπτώσεως.

Διάσωσον, πάτερ Σαμψὼν τοὺς τιμῶντάς σε πόθῳ, ἀπὸ νόσων ψυχῆς τε καὶ σώματος τάχιστα, σὺ γὰρ πολλὰ θαυματουργεῖς, τῇ δυνάμει Κυρίου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Σαμψὼν ἱερέ, ὡς ἰατρὸς πανάριστος, τὰς νόσους ψυχῶν, καὶ σώματος θεράπευσον, τῶν πιστῶς τιμώντων σε καὶ πρὸς σὲ θερμῶς καταφεύγουσι, τὸν τῇ δυνάμει τοῦ Χριστοῦ, τὰ πάθη ἀναργύρως ἐκδιώκοντα.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Θεραπείαν αἰτούμεθα, νόσων πολυτρόπων Σαμψὼν πρεσβείαις σου, πρὸς Δεσπότην τὸν Φιλάνθρωπον, Ἰατρὸν ψυχῆς τε καὶ τοῦ σώματος.

Ὡς τὴν νόσον ἐδίωξας, ἐκ τοῦ Βασιλέως Σαμψὼν μακάριε, οὕτω δίωξον τῶν δούλων σου, ἀσθενείας πάσας ταῖς πρεσβείαις σου.

Νοσηρᾶς καταστάσεως, Πάτερ τοὺς ὑμνοῦντάς σε διαφύλαττε, ὡς τὴν χάριν τῶν ἰάσεων, εἰληφὼς Σαμψὼν θεομακάριστε.

Θεοτοκίον

Ἣν κατέχεις Πανάμωμε, δύναμιν δεήσεων πρὸς τὸν Κύριον, φιλοτέκνως νῦν ἐπίδειξαι, τοῖς ἀπὸ ἐκ καρδίας ἐξαιτοῦσί σε.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Μόνον τὸν Χριστὸν, ἐν καρδίαις καταξίωσον, θεῖε Πάτερ τοὺς πιστοὺς ξενοδοχεῖν, ὡς σὺ πάντας, τοὺς πτωχοὺς ἐξενοδόχησας.

Ἄνελε ἡμῶν, γνώμην Πάτερ τὴν φιλάργυρον, καὶ ἀξίωσον μιμεῖσθαι τὸν Χριστόν, τὸν πτωχείαν, ἐπαινέσαντα καὶ πράξαντα.

Στῆσον ὦ Σαμψών, ἡδονῶν φλόγας ὡς ἔστησας, πῦρ ἀπειλῆσαν τὸν Ξενῶνά σου, καὶ παράσχου, σωφροσύνην τοῖς τιμῶσί σε.

Θεοτοκίον

Πῶς οἱ εὐτελεῖς, ἐπαινέσωμεν Πανάχραντε, τὴν ἀπειράριθμον πληθὺν τῶν ἀρετῶν, δι' ἃς πλουσίαν, ἐκ Θεοῦ τὴν Χάριν εἵλκυσαςκ

*Ὠιδὴ Ϛ'. Τὴν δέησιν.*

Ἀξίωσον, ὦ Σαμψὼν μακάριε, τὸν Χριστὸν ξενοδοχῆσαι καρδίαις, ὅπως ὁμοῦ, θεραπεύσῃ τὰς νόσους, ψυχῆς ἡμῶν καὶ τοῦ σώματος Ὅσιε, καὶ οὕτω μέλη καθαρά, ἀναδείξῃ Αὐτοῦ θείου σώματος.

Τὸν Κύριον, ἐν προσώποις Ὅσιε, καταξίωσον ὁρᾶν τῶν ἀνθρώπων, καθάπερ σύ, ἐν ἀγάπῃ ἐποίεις, καὶ διηκόνεις παρέχων τὰ πρόσφορα, ἑκάστῳ  πάντιμε Σαμψών, τὸν Δεσπότην μιμούμενος ἄριστα.

Ἐπλούτησας, ἐξοδεύσας Ἅγιε, τὸν σὸν πλοῦτον τοῖς πτωχοῖς διανείμας, σχὼν τὸν Χριστόν, ἐν τοῖς στέρνοις

οἰκοῦντα, Ὃν καὶ ἡμᾶς κατασχεῖν καταξίωσον, ἵνα ἀσύλητον Αὐτόν, θησαυρὸν ἐν καρδίαις κατέχωμεν.

Θεοτοκίον

Ῥυπῶσάν μου, τὴν καρδίαν κάθαρον, ῥεῖθρα Δέσποινα δακρύων διδοῦσα, καὶ ἐφεξῆς, τὸν Δεσπότην παρόντα, πρὸ ὀφθαλμῶν νοερῶς βλέπειν πάντοτε, ἀξίωσον ταῖς σαῖς εὐχαῖς, ὅπως πόθῳ ἀεὶ μεγαλύνω σε.

Διάσωσον, πάτερ Σαμψὼν τοὺς τιμῶντάς σε πόθῳ, ἀπὸ νόσων ψυχῆς τε καὶ σώματος τάχιστα, σὺ γὰρ πολλὰ θαυματουργεῖς, τῇ δυνάμει Κυρίου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Ἀσθενῶν καὶ θλιβομένων προσφύγιον, ἀνεδείχθης Σαμψὼν πάτερ ὅσιε. Τὴν σὴν χάριν, ἣν περ πλουσίως δέδωκέ σοι ὁ Χριστός, ἀφθόνως, διαμοιράζεις τοῖς πιστοῖς, ὡς σιτοδότης τῶν ψυχῶν, αἰτουμένοις τὴν πρεσβείαν σου. Ὅθεν μὴ διαλίπῃς, αἴρειν σεπτάς σου χεῖρας, ὑπὲρ ἡμῶν διὰ παντός, ἱκετεύων τὸν Φιλάνθρωπον.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἀναργύρου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*
Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Δαλιδὰ ἐνίκησας, πᾶσαν τοῦ βίου ἀπάτην, ὡς Σαμψὼν συνώνυμος, καὶ Θεῷ συνήρμοσαι, Πάτερ ὅσιε. Τὴν διπλῆν ἀγάπην δέ, ἔχων ὥσπερ πλοῦτον, ἀσθενοῦσί τε

καὶ πένησι, ταύτῃ χρησάμενος, ὡς Αὐτῷ Χριστῷ διηκόνησας, παρέχων τὰ ἁρμόζοντα, ἐν τῷ σῷ Ξενῶνι μακάριε. Ὅθεν ὡς κατέχων, ἰάσεων τὴν χάριν δαψιλῆ, ἡμῶν τὰς νόσους θεράπευσον, θείᾳ μεσιτείᾳ σου.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Σαμψὼν τάχει ἐπάκουσον, τῶν ἐξαιτουμένων τὴν μεσιτείαν σου, πρὸς τὸν καλὸν Δεσπότην, ὅπως ἡμῶν παρίδῃ, τὰ πολλὰ ἁμαρτήματα, καὶ ὡς φιλάνθρωπος ὢν, μηδένα κατακρίνῃ.

Ἀσθενοῦντες βαρέως, καὶ ἀλγοῦντες ψυχῇ τε ὁμοῦ καὶ σώματι, θερμῶς παρακαλοῦμεν, Σαμψὼν ὡς χάριν ἔχων, δὸς ταχεῖαν τὴν ἴασιν, ὅπως τιμῶμεν ἀεί, ὡς ἰατρόν σε θεῖον.

Μιμητὴς τοῦ Κυρίου, ἰατροῦ ἀναργύρου Σαμψὼν ὑπάρχοντος, καὶ ἔλεος διδόντος, παντὶ ἐν ἀφθονίᾳ, καὶ ὑγείαν παρέχοντος, σὺ ἀναργύρως ἡμῶν, θεράπευσον τὰς νόσους.

Θεοτοκίον

Ψαῦσον πόδας Υἱοῦ σου, Θεοτόκε πανύμνητε καὶ ἱκέτευε, ὑπὲρ τῶν σὲ τιμώντων, ὡς Τοῦτον τετοκυῖαν, καὶ ἡμῖν ἀκαταίσχυντον, πρέσβιν διδόντα Ἁγνή, καὶ σκέπην ἐν ἀνάγκαις.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

www.tezaurliturgic.ro


Ὡς ἐλεήμων, καὶ ἰατρείας τὴν χάριν, ἔχων πάτερ Σαμψὼν τῶν αἰτουμένων, δίωκε τὰς νόσους, Χριστοῦ τῇ ἐπικλήσει.

Νικᾶν μεγίστην, φιλαργυρίας τὴν νόσον, τοὺς τιμῶντας Σαμψὼν σὴν θείαν μνήμην, καὶ φιλοπτωχείας, πλουσίως χάριν δίδου.

Τρόπους ἀγάπης, τῆς τῷ Θεῷ ὁμοιούσης, Σαμψὼν δίδαξον ἵν' ἀξιωθῶμεν, τῆς τοῦ Παραδείσου, δόξης ἧς σὺ μετέχεις.

Θεοτοκίον

Ἡ καταστᾶσα, σκηνὴ Θεοῦ ἁγνοτάτη, καταξίωσον Δέσποινα γενέσθαι, τοὺς σὲ ἀνυμνοῦντας, οἴκους Θεοῦ ἁγίους.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥῆξον σκληροκαρδίας, καὶ μισανθρωπίας, Σαμψὼν τὰ τείχη ἡμῶν τὰ χωρίζοντα, τῆς τοῦ Κυρίου ἀγάπης, τοῦ φιλοικτίρμονος.

Ἔμπλησον θεῖε Πάτερ, ἀληθοῦς ἀγάπης, τοὺς τὸν σὸν βίον ἐκ πόθου θαυμάζοντας, καὶ ἀνεξάλειπτον δίδου, τὴν προστασίαν σου.

Ἴασαι τοὺς νοσοῦντας, τὴν ψυχὴν καὶ σῶμα, πάτερ Σαμψὼν ἰατρὸς ὡς ἀνάργυρος, καταξιῶν ταῖς εὐχαῖς σου,
ζωῆς τῆς κρείττονος.

## Θεοτοκίον

Ἄχραντε Θεοτόκε, σὺν Σαμψὼν τῷ θείῳ, ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ πρεσβεύσατε, ὅπως παράσχῃ ἀφθόνως τὸ μέγα ἔλεος.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

## Μεγαλυνάρια

(τὸ παρὸν παλαιόν)

Χαίροις ἀσθενούντων ὁ ἰατρός, χαίροις θλιβομένων, ὁ θερμότατος ἀρωγός, χαίροις τῶν πενήτων, καὶ ξένων ἀντιλήπτωρ, Σαμψὼν Χριστοῦ θεράπον, ἀξιοθαύμαστε.
Ξένους ἁμαρτίας πάτερ Σαμψών, δεῖξον τοὺς τιμῶντας, τὸν σὸν βίον τὸν θαυμαστόν, καὶ Κυρίου οἴκους, ἀνάδειξον τοὺς ὅσοι, μιμοῦνταί σου ἀγάπης, τὰ κατορθώματα.

Ἴασαι τὰ πάθη πάτερ Σαμψών, τὰ ταλαιπωροῦντα, τῶν τιμώντων σε τὰς ψυχάς, καὶ τὴν χάριν δίδου, Πνεύματος τοῦ Ἁγίου, τοῦ ἀναδείξαντός σε, θεῖον ἀκέστορα.

www.tezaurliturgic.ro


Πᾶσαι τῶν ᾿Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*
*Ἦχος β.᾽ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Τὸν παντελεήμονα Θεόν, Οὗ Σαμψὼν τὴν χάριν ἐδέξω, ἀπαύστως πρέσβευε, ὅπως ἐξιάσηται τὰ ἁμαρτήματα,

τῶν ἐκ πόθου τιμώντων σε, καὶ σοῦ θαυμαζόντων, βίον τὸν ἀνάργυρον, καὶ φιλοικτίρμονα, ἐν δὲ τῇ φρικτῇ παρουσίᾳ, Παραδείσου δείξῃ πολίτας, σὺν Ἁγίοις Πᾶσιν ὁσιώτατε.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

Στίχοι

*Σαμψών, τὰς νόσους ἴασαι καὶ τὰ πάθη,*
*Τῶν σὲ ἐν ὕμνοις καὶ πόθῳ γεραιρόντων.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ